**ΤΡΙΩΔΙΟΝ.**

**ΤΗ Ι' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ ΑΠΡΙΛΙΟΥ 2023.**

**ΕΣΠΕΡΑΣ ΜΕΓΑΛΗΣ ΔΕΥΤΕΡΑΣ.**

**ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΝΥΜΦΙΟΥ ΜΕ ΤΟΝ ΟΡΘΡΟ ΤΗΣ ΜΕΓΑΛΗΣ ΤΡΙΤΗΣ ( 11 Απριλίου 2023 ).**

**Μνείαν ποιούμεθα τῆς τῶν δέκα Παρθένων παραβολῆς, τῆς ἐκ τοῦ ἱεροῦ Εὐαγγελίου. Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Ἀντίπα, Ἐπισκόπου Περγάμου..**

**ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΝΥΜΦΙΟΥ.**




**ΟΡΘΡΟΣ.**

**Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

**Δόξα σοι ὁ Θεός, δόξα σοι.**

**Βασιλεῦ Οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς Ἀληθείας, ὁ Πανταχοῦ Παρὼν καὶ τὰ Πάντα Πληρῶν, ὁ Θησαυρός τῶν Ἀγαθῶν καὶ Ζωῆς Χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον, Ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.**

**Ἀμήν.**

**Τρισάγιον.**

**Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ').**

**Δόξα ... Καὶ νῦν ...**

**Παναγία Τριάς, ἐλέησον ἡμᾶς**.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,
Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.
Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν,
ἕνεκεν τοῦ ὀνόματός σου.

**Κύριε, ἐλέησον, (ἐκ γ').**

**Δόξα ... Καὶ νῦν ...**

**Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,**
ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον

ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, **ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.**

**Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα του Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων.**
**Ἀμήν.**

**Κύριε Ἐλέησον (12).**

**Δόξα... Καὶ νῦν... Ἐν ὀνόματι Κυρίου, εὐλόγησον, Πάτερ.**

**Ἐμμελὴς ἀπαγγελία εἰς τὸ κλιτὸν ὕφος.**

- **Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.**
- **Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ.**
- **Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.**

## ΨΑΛΜΟΣ ΙΘ'. (19).

**Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ** θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα **τοῦ Θεοῦ Ἰακὼβ**.

Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ
ἐκ Σιὼν **ἀντιλάβοιτό σου.**
Μνησθείη πάσης θυσίας σου, καὶ τὸ
ὁλοκαύτωμά **σου πιανάτω.**
Δῴη σοι Κύριος κατὰ τὴν καρδίαν σου,
καὶ πᾶσαν τὴν βουλήν **σου πληρώσαι** .
Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου, καὶ
ἐν ὀνόματι Κυρίου Θεοῦ **ἡμῶν**
**μεγαλυνθησόμεθα**.
Πληρώσαι Κύριος πάντα τὰ αἰτήματά
σου˙ νῦν ἔγνων, ὅτι ἔσωσε Κύριος **τὸν**
**χριστὸν αὐτοῦ**.
Ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου
αὐτοῦ, ἐν δυναστείαις ἡ σωτηρία τῆς
**δεξιᾶς αὐτοῦ.**
Οὗτοι ἐν ἅρμασι, καὶ οὗτοι ἐν ἵπποις,
ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν
**ἐπικαλεσόμεθα.**
Αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσον, ἡμεῖς
δὲ ἀνέστημεν, **καὶ ἀνωρθώθημεν.**
Κύριε, σῶσον τὸν Βασιλέα, καὶ
ἐπάκουσον ἡμῶν, ἐν ᾗ ἂν ἡμέρᾳ
**ἐπικαλεσώμεθά σε.**

## ΨΑΛΜΟΣ Κ'. 20.

**Κύριε, ἐν τῇ δυνάμει σου**
εὐφρανθήσεται ὁ Βασιλεύς, καὶ ἐπὶ τῷ
σωτηρίῳ σου **ἀγαλλιάσεται σφόδρα.**

Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ
ἔδωκας αὐτῷ, καὶ τὴν θέλησιν τῶν
χειλέων αὐτοῦ **οὐκ ἐστέρησας αὐτὸν** .
Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις
χρηστότητας, ἔθηκας ἐπὶ τὴν κεφαλὴν
αὐτοῦ **στέφανον ἐκ λίθου τιμίου.**
Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ
μακρότητα ἡμερῶν εἰς **αἰῶνα αἰῶνος.**
Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ
σου· δόξαν, καὶ μεγαλοπρέπειαν
**ἐπιθήσεις ἐπ᾽ αὐτόν.**
Ὅτι δῴης αὐτῷ εὐλογίαν εἰς αἰῶνα
αἰῶνος· εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ **μετὰ
τοῦ προσώπου σου.**
Ὅτι ὁ Βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον, καὶ ἐν
τῷ ἐλέει τοῦ Ὑψίστου **οὐ μὴ σαλευθῇ**.
Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς
σου, ἡ δεξιά σου εὕροι **πάντας τοὺς
μισοῦντάς σε**.
Ὅτι θήσεις αὐτοὺς ὡς κλίβανον πυρός,
εἰς καιρὸν τοῦ **προσώπου σου.**
Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει
αὐτούς, καὶ καταφάγεται **αὐτοὺς πῦρ.**
Τὸν καρπὸν αὐτῶν ἀπὸ τῆς γῆς ἀπολεῖς,
καὶ τὸ σπέρμα αὐτῶν **ἀπὸ υἱῶν
ἀνθρώπων**.
Ὅτι ἔκλιναν εἰς σὲ κακά, διελογίσαντο
βουλάς, αἷς οὐ μὴ **δύνωνται στῆναι.**
Ὅτι θήσεις αὐτοὺς νῶτον· ἐν τοῖς
περιλοίποις σου ἑτοιμάσεις **τὸ
πρόσωπον αὐτῶν**.

Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου· ᾄσομεν, καὶ ψαλοῦμεν **τὰς δυναστείας σου.**

## Τρισάγιον.

**Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ').**

**Δόξα ... Καὶ νῦν ...**

**Παναγία Τριάς, ἐλέησον ἡμᾶς**.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,
Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.
Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν,
ἕνεκεν τοῦ ὀνόματός σου.

**Κύριε, ἐλέησον, (ἐκ γ').**

**Δόξα ... Καὶ νῦν ...**

**Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,** ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, **ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.**

**Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα του Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων.**

**Ἀμὴν.**

## Τροπάρια

**Σῶσον, Κύριε, τὸν λαόν σου,** καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι, κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

**Δόξα Πατρί...**

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός, εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων, τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, **ἀήττητον τρόπαιον.**

**Καὶ νῦν... Θεοτοκίον**

**Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε**, μὴ παρίδῃς, ἀγαθή, τὰς ἱκεσίας ἡμῶν, πανύμνητε Θεοτόκε, στήριξον ὀρθοδόξων πολιτείαν, σῷζε οὓς ἐκέλευσας βασιλεύειν, καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην, διότι ἔτεκες τὸν Θεόν**, μόνη εὐλογημένη.**

**Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.**

**Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

**Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

**Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

**Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

**Ἐν ὀνόματι Κυρίου, εὐλόγησον, Πάτερ.**

**Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

**Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία (ἐκ γ').**

**Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου (ἐκ β').**

## Ψαλμὸς γ’ ( 3 )

- **Κύριε τί ἐπληθύνθησαν οἱ θλίβοντές με πολλοὶ ἐπανίστανται ἐπ' ἐμὲ;**
- Πολλοὶ λέγουσιν τῇ ψυχῇ μου οὐκ ἔστιν σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.
- Σὺ δὲ Κύριε ἀντιλήπτωρ μου εἶ δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου.
- Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.
- Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα ἐξηγέρθην ὅτι Κύριος ἀντιλήψεταί μου.
- Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ τῶν κύκλῳ συνεπιτιθεμένων μοι.
- Ἀνάστα, Κύριε, σῶσόν με ὁ Θεός μου ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως ὀδόντας ἁμαρτωλῶν συνέτριψας.
- Τοῦ Κυρίου ἡ σωτηρία καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

**Καὶ πάλιν**

- Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα ἐξηγέρθην **ὅτι Κύριος ἀντιλήψεταί μου.**

## Ψαλμὸς λζ’ (37)

- **Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με,**
- ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου
- οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου,

- οὐκ ἔστιν εἰρήνη  ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου,
- ὅτι αἱ ἀνομίαι μου ὑπερῇραν τὴν κεφαλήν μου ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμὲ,
- προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου
- ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην
- ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου
- ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.
- Κύριε ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη,
- ἡ καρδία μου ἐταράχθη ἐγκατέλιπέ με ἡ ἰσχύς μου καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου καὶ αὐτὸ οὐκ ἔστιν μετ' ἐμοῦ,
- οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν,
- καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν

- ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ
- καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμοὺς
- ὅτι ἐπὶ σοὶ Κύριε ἤλπισα σὺ εἰσακούσῃ Κύριε ὁ Θεός μου,
- ὅτι εἶπον΄ μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ' ἐμὲ ἐμεγαλοῤῥημόνησαν
- ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου διὰ παντὸς
- ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου
- οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμὲ καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως
- οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με ἐπεὶ κατεδίωκον δικαιοσύνην.
- Μὴ ἐγκαταλίπῃς με Κύριε ὁ Θεός μου μὴ ἀποστῇς ἀπ' ἐμοῦ
- Πρόσχες εἰς τὴν βοήθειάν μου Κύριε τῆς σωτηρίας μου.

**Καὶ πάλιν**

- **Μ**ὴ ἐγκαταλίπῃς με Κύριε ὁ Θεός μου μὴ ἀποστῇς ἀπ' ἐμοῦ
- **Π**ρόσχες εἰς τὴν βοήθειάν μου **Κύριε τῆς σωτηρίας μου.**

## Ψαλμὸς ξβ’ (62)

- **Ὁ Θεὸς ὁ Θεός μου πρὸς σὲ ὀρθρίζω**
- ἐδίψησέ σε ἡ ψυχή μου ποσαπλῶς σοι ἡ σάρξ μου ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ
- οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου
- ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωὰς, τὰ χείλη μου ἐπαινέσουσί σε
- οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου
- ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου
- εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σὲ
- ὅτι ἐγενήθης βοηθός μου καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι
- ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου ἐμοῦ ἀντελάβετο ἡ δεξιά σου
- αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς παραδοθήσονται εἰς χεῖρας ῥομφαίας μερίδες ἀλωπέκων ἔσονται
- ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα

**Καὶ πάλιν**

- Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σὲ ὅτι ἐγενήθης βοηθός μου καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι,
- Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου **ἐμοῦ ἀντελάβετο ἡ δεξιά σου.**

**Δόξα Πατρί... Καὶ νῦν...**
**Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα, Δόξα σοι ὁ Θεὸς(Τρις).**
**Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**
**Δόξα Πατρί... Καὶ νῦν...**

**Ψαλμὸς πζ' (87)**

- **Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ** ἐναντίον σου
- εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου
- ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου καὶ ἡ ζωή μου τῷ ᾄδῃ ἤγγισεν
- προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον ἐγενήθην ὡς ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος
- ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν,
- ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου,

- ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ' ἐμὲ
- ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ ἔθεντό με βδέλυγμα ἑαυτοῖς
- παρεδόθην καὶ οὐκ ἐξεπορευόμην οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας
- ἐκέκραξα πρὸς σὲ Κύριε ὅλην τὴν ἡμέραν διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου
- μή τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί σοι;
- μή διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;
- μή γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;
- κἀγὼ πρὸς σὲ Κύριε ἐκέκραξα καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε
- ἵνα τί Κύριε ἀπωθῇ τὴν ψυχήν μου ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;
- πτωχὸς εἰμι ἐγὼ καὶ ἐν κόποις ἐκ νεότητός μου ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην
- ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με
- ἐκύκλωσάν με ὡσεὶ ὕδωρ ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα

- ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον καὶ πλησίον καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας .

**Καὶ πάλιν**

- Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.
- Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου **κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.**

**Ψαλμὸς ρβ'(102)**

- **Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον καὶ πάντα τὰ ἐντός μου** τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ
- Εὐλόγει ἡ ψυχή μου τὸν κύριον καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ
- τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου τὸν ἰώμενον πάσας τὰς νόσους σου
- τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς
- τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου
- ποιῶν ἐλεημοσύνας ὁ Κύριος καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις

- ἐγνώρισεν τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ,
- οἰκτίρμων καὶ ἐλεήμων ὁ κύριος μακρόθυμος καὶ πολυέλεος,
- οὐκ εἰς τέλος ὀργισθήσεται οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ,
- οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν
- ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσεν Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτὸν
- καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν
- καθὼς οἰκτείρει πατὴρ υἱοὺς ᾠκτείρησεν κύριος τοὺς φοβουμένους αὐτὸν ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν ἐμνήσθη ὅτι χοῦς ἐσμεν,
- ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει
- ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ
- τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτὸν
- καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν τοῖς φυλάσσουσιν τὴν διαθήκην

αὐτοῦ καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.

- Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασεν τὸν θρόνον αὐτοῦ καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει
- εὐλογεῖτε τὸν Κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ
- εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ δυνάμεις αὐτοῦ λειτουργοὶ αὐτοῦ οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ
- εὐλογεῖτε τὸν Κύριον πάντα τὰ ἔργα αὐτοῦ ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

**Καὶ πάλιν**

- Ἐν παντὶ τόπῳ τῆς δεσποτείας **αὐτοῦ εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.**

## Ψαλμὸς ρμβ’ (142)

- **Κύριε εἰσάκουσον τῆς προσευχῆς μου ἐνώτισαι τὴν δέησίν μου** ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου,
- καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν,
- ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου,

- ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου
- ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου ἐν ποιήμασιν τῶν χειρῶν σου ἐμελέτων
- διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι
- ταχὺ εἰσάκουσόν μου Κύριε ἐξέλιπε τὸ πνεῦμά μου
- μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον
- ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου ὅτι ἐπὶ σοὶ ἤλπισα
- γνώρισόν μοι Κύριε ὁδὸν ἐν ᾗ πορεύσομαι ὅτι πρὸς σὲ ᾖρα τὴν ψυχήν μου
- ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου Κύριε πρὸς σὲ κατέφυγον
- δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου ὅτι σὺ εἶ ὁ Θεός μου.
- Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ ἕνεκεν τοῦ ὀνόματός σου Κύριε ζήσεις με
- ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου ὅτι ἐγὼ δοῦλός σου εἰμί.

**Καὶ πάλιν**

- Εἰσάκουσόν μου Κύριε, ἐν τῇ δικαιοσύνῃ σου καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. **(δίς)**
- **Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.**

**Δόξα Πατρί... Καὶ νῦν...**
**Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα.**
**Δόξα σοι ὁ Θεός (ἐκ γ').**
**Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.**

**Ὁ διάκονος:**
**Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.**
**Κύριε, ἐλέησον.**
**[καὶ μετὰ ἀπὸ κάθε αἴτηση]**
Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.
**Κύριε, ἐλέησον.**
Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.
**Κύριε, ἐλέησον.**
Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.
**Κύριε, ἐλέησον.**
Ὑπὲρ τῶν εὐσεβῶν καὶ

ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (……), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπὲρ τῆς πόλεως (Μονῆς, Κώμης) ταύτης, πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

**Κύριε, ἐλέησον.**

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

**Σοί, Κύριε.**

**Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ**
**Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

**Στίχ, α΄. Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σέ, ὁ Θεός, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς.**

**Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα.**

**Στίχ, β΄. Δικαιοσύνην μάθετε, οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.**

**Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα.**

**Στίχ, γ΄. Ζῆλος λήψεται λαὸν ἀπαίδευτον, καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται.**
**Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα.**
**Στίχ, δ΄. Πρόσθες αὐτοῖς κακά, Κύριε, πρόσθες αὐτοῖς κακά, τοῖς ἐνδόξοις τῆς γῆς.**
**Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα.**

**Τροπάριον τοῦ Νυμφίου, Ἦχος πλ. δ΄.**
**Ἰδοὺ ὁ Νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτός**, καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα, ἀνάξιος δὲ πάλιν, ὃν εὑρήσει ῥᾳθυμοῦντα. Βλέπε οὖν ψυχή μου, μὴ τῷ ὕπνῳ κατενεχθῇς, ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς, καὶ τῆς βασιλείας ἔξω κλεισθῇς, ἀλλὰ ἀνάνηψον κράζουσα. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός ἡμῶν, **πρεσβείαις τοῦ Προδρόμου σῶσον ἡμᾶς.( Ἀργὸν).**
**Δόξα Πατρί ...**
**Ἰδοὺ ὁ Νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτός**, καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα, ἀνάξιος δὲ πάλιν, ὃν εὑρήσει ῥᾳθυμοῦντα. Βλέπε οὖν ψυχή μου, μὴ τῷ ὕπνῳ κατενεχθῇς, ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς, καὶ τῆς βασιλείας ἔξω κλεισθῇς, ἀλλὰ ἀνάνηψον κράζουσα. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός ἡμῶν, **πρεσβείαις τοῦ Ιεράρχου σῶσον ἡμᾶς.( Ἀργὸν).**

**Καὶ νῦν ...**

**Ἰδοὺ ὁ Νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτός**, καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα, ἀνάξιος δὲ πάλιν, ὃν εὑρήσει ῥᾳθυμοῦντα. Βλέπε οὖν ψυχή μου, μὴ τῷ ὕπνῳ κατενεχθῇς, ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς, καὶ τῆς βασιλείας ἔξω κλεισθῇς, ἀλλὰ ἀνάνηψον κράζουσα. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός ἡμῶν, **διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.**(**Σύντομον**).

**Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.**

**Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

**Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

**Σοι Κύριε.**

**Ὅτι σὸν τὸ κράτος καί σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου**

**Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**
**Ἀμήν.**

## Καθίσματα.
## Καθίσματα Ἦχος δ' Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

**Τὸν Νυμφίον ἀδελφοὶ ἀγαπήσωμεν**, τὰς λαμπάδας ἑαυτῶν εὐτρεπίσωμεν, ἐν ἀρεταῖς ἐκλάμποντες καὶ πίστει ὀρθῇ, ἵνα ὡς αἱ φρόνιμοι, τοῦ Κυρίου παρθένοι, ἕτοιμοι εἰσέλθωμεν, σὺν αὐτῷ εἰς τοὺς γάμους· ὁ γὰρ Νυμφίος δῶρον ὡς Θεός, πᾶσι παρέχει τὸν ἄφθαρτον στέφανον.

**Δόξα ... Καὶ νῦν ...**

**Τὸν Νυμφίον ἀδελφοὶ ἀγαπήσωμεν**, τὰς λαμπάδας ἑαυτῶν εὐτρεπίσωμεν, ἐν ἀρεταῖς ἐκλάμποντες καὶ πίστει ὀρθῇ, ἵνα ὡς αἱ φρόνιμοι, τοῦ Κυρίου παρθένοι, ἕτοιμοι εἰσέλθωμεν, σὺν αὐτῷ εἰς τοὺς γάμους· ὁ γὰρ Νυμφίος δῶρον ὡς Θεός, **πᾶσι παρέχει τὸν ἄφθαρτον στέφανον.**

## Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα, Τριῳδίου. Ἦχος δ' Κατεπλάγη Ἰωσὴφ.

**Βουλευτήριον Σωτήρ**, παρανομίας κατὰ σοῦ, Ἱερεῖς καὶ Γραμματεῖς, φθόνῳ ἀθροίσαντες δεινῶς, εἰς προδοσίαν ἐκίνησαν τὸν Ἰούδαν· ὅθεν ἀναιδῶς, ἐξεπορεύετο, ἐλάλει κατὰ σοῦ, τοῖς παρανόμοις λαοῖς. Τί μοι φησὶ παρέχετε,

κἀγὼ ὑμῖν αὐτὸν παραδώσω εἰς χεῖρας ὑμῶν; Τῆς κατακρίσεως τούτου ῥῦσαι, Κύριε τὰς ψυχὰς ἡμῶν.

**Δόξα ... Καὶ νῦν ...**

**Βουλευτήριον Σωτήρ, παρανομίας** κατὰ σοῦ, Ἱερεῖς καὶ Γραμματεῖς, φθόνῳ ἀθροίσαντες δεινῶς, εἰς προδοσίαν ἐκίνησαν τὸν Ἰούδαν· ὅθεν ἀναιδῶς, ἐξεπορεύετο, ἐλάλει κατὰ σοῦ, τοῖς παρανόμοις λαοῖς. Τί μοι φησὶ παρέχετε, κἀγὼ ὑμῖν αὐτὸν παραδώσω εἰς χεῖρας ὑμῶν; **Τῆς κατακρίσεως τούτου ῥῦσαι, Κύριε τὰς ψυχὰς ἡμῶν.**

## Μετὰ τὴν γ' Στιχολογίαν, Κάθισμα, Τριῳδίου

**Ἦχος πλ. δ' Τὴν Σοφίαν, καὶ Λόγον.**

**Ὁ Ἰούδας τῇ γνώμῃ φιλαργυρεῖ**, κατὰ τοῦ Διδασκάλου ὁ δυσμενής, κινεῖται βουλεύεται, μελετᾷ τὴν παράδοσιν, τοῦ φωτὸς ἐκπίπτει, τὸ σκότος δεχόμενος, συμφωνεῖ τὴν πρᾶσιν, πωλεῖ τὸν ἀτίμητον· ὅθεν καὶ ἀγχόνην, ἀμοιβὴν ὧν περ ἔδρα, εὑρίσκει ὁ ἄθλιος, καὶ ἐπώδυνον θάνατον. Τῆς αὐτοῦ ἡμᾶς λύτρωσαι, μερίδος Χριστὲ ὁ Θεός, τῶν πταισμάτων ἄφεσιν δωρούμενος, τοῖς ἑορτάζουσι πόθω, τὸ ἄχραντον Πάθος σου.

**Δόξα ... Καὶ νῦν ...**

**Ὁ Ἰούδας τῇ γνώμῃ φιλαργυρεῖ,** κατὰ

τοῦ Διδασκάλου ὁ δυσμενής, κινεῖται βουλεύεται, μελετᾷ τὴν παράδοσιν, τοῦ φωτὸς ἐκπίπτει, τὸ σκότος δεχόμενος, συμφωνεῖ τὴν πρᾶσιν, πωλεῖ τὸν ἀτίμητον· ὅθεν καὶ ἀγχόνην, ἀμοιβὴν ὧν περ ἔδρα, εὑρίσκει ὁ ἄθλιος, καὶ ἐπώδυνον θάνατον. Τῆς αὐτοῦ ἡμᾶς λύτρωσαι, μερίδος Χριστὲ ὁ Θεός, τῶν πταισμάτων ἄφεσιν δωρούμενος, **τοῖς ἑορτάζουσι πόθω, τὸ ἄχραντον Πάθος σου.**

**Εὐαγγέλιον τοῦ Ὄρθρου**

**Καὶ ὑπέρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.**

**Κύριε, ἐλέησον (γ').**

**Σοφία. Ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.**

**Εἰρήνη πᾶσι.**

**Καὶ τῷ Πνεύματί σου.**

**Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου ...**

**Πρόσχωμεν.**

**Δόξα σοι, Κύριε, δόξα σοι.**

**Ἐκ τοῦ κατὰ Ματθαῖον κβ΄ 15 - κγ΄ 39.**

**Τῷ καιρῷ ἐκείνῳ, συμβούλιον ἔλαβον οἱ Φαρισαῖοι** κατὰ τοῦ Ἰησοῦ, ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ.
16 καὶ

ἀποστέλλουσιν αὐτῷ τοὺς μαθητὰς
αὐτῶν μετὰ τῶν Ἡρῳδιανῶν λέγοντες·
Διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ καὶ τὴν
ὁδὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ
οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ
βλέπεις εἰς πρόσωπον ἀνθρώπου· [17]εἰπὲ
οὖν ἡμῖν, τί σοι δοκεῖ; ἔξεστι δοῦναι
κῆνσον Καίσαρι ἢ οὔ· [18]γνοὺς δὲ ὁ Ἰησοῦς
τὴν πονηρίαν αὐτῶν εἶπε· Τί με
πειράζετε, ὑποκριταί; [19]ἐπιδείξατέ μοι τὸ
νόμισμα τοῦ κήνσου. οἱ δὲ προσήνεγκαν
αὐτῷ δηνάριον. [20]καὶ λέγει αὐτοῖς· Τίνος
ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή; [21]λέγουσιν
αὐτῷ· Καίσαρος· τότε λέγει αὐτοῖς·
Ἀπόδοτε οὖν τὰ Καίσαρος Καίσαρι καὶ τὰ
τοῦ Θεοῦ τῷ Θεῷ. [22]καὶ ἀκούσαντες
ἐθαύμασαν, καὶ ἀφέντες αὐτὸν
ἀπῆλθον. [23]Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ
προσῆλθον αὐτῷ Σαδδουκαῖοι, οἱ
λέγοντες μὴ εἶναι ἀνάστασιν, καὶ
ἐπηρώτησαν αὐτὸν [24]λέγοντες·
Διδάσκαλε, Μωσῆς εἶπεν, ἐάν τις
ἀποθάνῃ μὴ ἔχων τέκνα, ἐπιγαμβρεύσει
ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ καὶ
ἀναστήσει σπέρμα τῷ ἀδελφῷ
αὐτοῦ. [25]ἦσαν δὲ παρ' ἡμῖν ἑπτὰ
ἀδελφοί· καὶ ὁ πρῶτος γαμήσας
ἐτελεύτησε, καὶ μὴ ἔχων σπέρμα ἀφῆκε
τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ
αὐτοῦ· [26]ὁμοίως καὶ ὁ δεύτερος καὶ ὁ
τρίτος, ἕως τῶν ἑπτά. [27]ὕστερον δὲ

πάντων ἀπέθανε καὶ ἡ γυνή. [28]ἐν τῇ οὖν
ἀναστάσει τίνος τῶν ἑπτὰ ἔσται ἡ γυνή;
πάντες γὰρ ἔσχον αὐτήν. [29]ἀποκριθεὶς δὲ
ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Πλανᾶσθε μὴ
εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν
τοῦ Θεοῦ· [30]ἐν γὰρ τῇ ἀναστάσει οὔτε
γαμοῦσιν οὔτε ἐκγαμίζονται, ἀλλ' ὡς
ἄγγελοι Θεοῦ ἐν οὐρανῷ εἰσι. [31]περὶ δὲ
τῆς ἀναστάσεως τῶν νεκρῶν οὐκ
ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ Θεοῦ
λέγοντος, [32]ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ
Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ; οὐκ ἔστιν ὁ
Θεὸς Θεὸς νεκρῶν, ἀλλὰ ζώντων. [33]καὶ
ἀκούσαντες οἱ ὄχλοι ἐξεπλήσσοντο ἐπὶ τῇ
διδαχῇ αὐτοῦ. [34]Οἱ δὲ Φαρισαῖοι
ἀκούσαντες ὅτι ἐφίμωσε τοὺς
Σαδδουκαίους, συνήχθησαν ἐπὶ τὸ
αὐτό, [35]καὶ ἐπηρώτησεν εἷς ἐξ αὐτῶν,
νομικὸς, πειράζων αὐτόν καὶ
λέγων· [36]Διδάσκαλε, ποία ἐντολὴ μεγάλη
ἐν τῷ νόμῳ; [37]ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ·
Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ
τῇ καρδίᾳ σου καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου
καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου· [38]αὕτη ἐστὶ
πρώτη καὶ μεγάλη ἐντολή. [39]δευτέρα δὲ
ὁμοία αὐτῇ· ἀγαπήσεις τὸν πλησίον σου
ὡς σεαυτόν. [40]ἐν ταύταις ταῖς δυσὶν
ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται
κρέμανται. [41]Συνηγμένων δὲ τῶν
Φαρισαίων ἐπηρώτησεν αὐτοὺς ὁ
Ἰησοῦς [42]λέγων· Τί ὑμῖν δοκεῖ περὶ τοῦ

Χριστοῦ; τίνος υἱός ἐστι; λέγουσιν αὐτῷ·
Τοῦ Δαυΐδ. 43λέγει αὐτοῖς· Πῶς οὖν Δαυΐδ
ἐν Πνεύματι Κύριον καλεῖ αὐτὸν
λέγων, 44εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου,
κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς
ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν
σου; 45εἰ οὖν Δαυΐδ καλεῖ αὐτὸν Κύριον,
πῶς υἱὸς αὐτοῦ ἐστι; 46καὶ οὐδεὶς
ἐδύνατο αὐτῷ ἀποκριθῆναι λόγον, οὐδὲ
ἐτόλμησέ τις ἀπ' ἐκείνης τῆς ἡμέρας
ἐπερωτῆσαι αὐτὸν οὐκέτι. 1Τότε ὁ Ἰησοῦς
ἐλάλησε τοῖς ὄχλοις καὶ τοῖς μαθηταῖς
αὐτοῦ 2λέγων· Ἐπὶ τῆς Μωσέως
καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ
Φαρισαῖοι. 3πάντα οὖν ὅσα ἐὰν εἴπωσιν
ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε, κατὰ δὲ
τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε· λέγουσι γὰρ,
καὶ οὐ ποιοῦσι. 4δεσμεύουσιν γὰρ
φορτία βαρέα καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς
ὤμους τῶν ἀνθρώπων, τῷ δὲ δακτύλῳ
αὐτῶν οὐ θέλουσι κινῆσαι αὐτά. 5πάντα
δὲ τὰ ἔργα αὐτῶν ποιοῦσι πρὸς τὸ
θεαθῆναι τοῖς ἀνθρώποις, πλατύνουσι
γὰρ τὰ φυλακτήρια αὐτῶν καὶ
μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων
αὐτῶν, 6φιλοῦσι δὲ τὴν πρωτοκλισίαν ἐν
τοῖς δείπνοις καὶ τὰς πρωτοκαθεδρίας ἐν
ταῖς συναγωγαῖς 7καὶ τοὺς ἀσπασμοὺς ἐν
ταῖς ἀγοραῖς καὶ καλεῖσθαι ὑπὸ τῶν
ἀνθρώπων, ῥαββὶ ῥαββί. 8ὑμεῖς δὲ μὴ
κληθῆτε ῥαββί· εἷς γάρ ὑμῶν ἐστιν ὁ

διδάσκαλος, ὁ Χριστός· πάντες δὲ ὑμεῖς
ἀδελφοί ἐστε. 9καὶ πατέρα μὴ καλέσητε
ὑμῶν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ πατὴρ
ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς. 10μηδὲ κληθῆτε
καθηγηταί· εἷς γάρ ὑμῶν ἐστιν ὁ
καθηγητὴς, ὁ Χριστός. 11ὁ δὲ μείζων
ὑμῶν ἔσται ὑμῶν διάκονος. 12ὅστις δὲ
ὑψώσει ἑαυτὸν ταπεινωθήσεται, καὶ
ὅστις ταπεινώσει ἑαυτὸν
ὑψωθήσεται. 13Οὐαὶ δὲ ὑμῖν, γραμματεῖς
καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι κατεσθίετε
τὰς οἰκίας τῶν χηρῶν καὶ προφάσει
μακρὰ προσευχόμενοι· διὰ τοῦτο
λήψεσθε περισσότερον κρίμα. 14Οὐαὶ
ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι
ὑποκριταί, ὅτι κλείετε τὴν βασιλείαν τῶν
οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων·
ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς
εἰσερχομένους ἀφίετε εἰσελθεῖν. 15Οὐαὶ
ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι
ὑποκριταί, ὅτι περιάγετε τὴν θάλασσαν
καὶ τὴν ξηρὰν ποιῆσαι ἕνα προσήλυτον,
καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν
γεέννης διπλότερον ὑμῶν. 16Οὐαὶ ὑμῖν,
ὁδηγοὶ τυφλοὶ, οἱ λέγοντες· ὃς ἂν ὀμόσῃ
ἐν τῷ ναῷ, οὐδέν ἐστιν, ὃς δ' ἂν ὀμόσῃ
ἐν τῷ χρυσῷ τοῦ ναοῦ ὀφείλει. 17μωροὶ
καὶ τυφλοί! τίς γὰρ μείζων ἐστίν, ὁ
χρυσὸς ἢ ὁ ναὸς ὁ ἁγιάζων τὸν
χρυσόν; 18καί· ὃς ἂν ὀμόσῃ ἐν τῷ
θυσιαστηρίῳ, οὐδέν ἐστιν, ὃς δ' ἂν

ὀμόσῃ ἐν τῷ δώρῳ τῷ ἐπάνω αὐτοῦ,
ὀφείλει. [19]μωροὶ καὶ τυφλοί! τί γὰρ
μεῖζον, τὸ δῶρον ἢ τὸ θυσιαστήριον τὸ
ἁγιάζον τὸ δῶρον; [20]ὁ οὖν ὀμόσας ἐν τῷ
θυσιαστηρίῳ ὀμνύει ἐν αὐτῷ καὶ ἐν πᾶσι
τοῖς ἐπάνω αὐτοῦ· [21]καὶ ὁ ὀμόσας ἐν τῷ
ναῷ ὀμνύει ἐν αὐτῷ καὶ ἐν τῷ
κατοικήσαντι αὐτόν· [22]καὶ ὁ ὀμόσας ἐν τῷ
οὐρανῷ ὀμνύει ἐν τῷ θρόνῳ τοῦ Θεοῦ
καὶ ἐν τῷ καθημένῳ ἐπάνω
αὐτοῦ. [23]Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ
Φαρισαῖοι ὑποκριταί, ὅτι ἀποδεκατοῦτε
τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον καὶ τὸ
κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ
νόμου, τὴν κρίσιν καὶ τὸν ἔλεον καὶ τὴν
πίστιν· ταῦτα δὲ ἔδει ποιῆσαι κἀκεῖνα μὴ
ἀφιέναι. [24]ὁδηγοὶ τυφλοί, οἱ διυλίζοντες
τὸν κώνωπα, τὴν δὲ κάμηλον
καταπίνοντες! [25]Οὐαὶ ὑμῖν, γραμματεῖς
καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι καθαρίζετε
τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς
παροψίδος, ἔσωθεν δὲ γέμουσιν ἐξ
ἁρπαγῆς καὶ ἀδικίας. [26]Φαρισαῖε τυφλέ,
καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ
ποτηρίου καὶ τῆς παροψίδος, ἵνα γένηται
καὶ τὸ ἐκτὸς αὐτῶν καθαρόν. [27]Οὐαὶ ὑμῖν,
γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι
παρομοιάζετε τάφοις κεκονιαμένοις,
οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι,
ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν καὶ
πάσης ἀκαθαρσίας. [28]οὕτω καὶ ὑμεῖς

ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώποις
δίκαιοι, ἔσωθεν δέ μεστοὶ ἐστε
ὑποκρίσεως καὶ ἀνομίας. 29Οὐαὶ ὑμῖν,
γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι
οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν
καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν
δικαίων, 30καὶ λέγετε· εἰ ἦμεν ἐν ταῖς
ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἦμεν
κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν
προφητῶν. 31ὥστε μαρτυρεῖτε ἑαυτοῖς
ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς
προφήτας. 32καὶ ὑμεῖς πληρώσατε τὸ
μέτρον τῶν πατέρων ὑμῶν. 33ὄφεις,
γεννήματα ἐχιδνῶν! πῶς φύγητε ἀπὸ τῆς
κρίσεως τῆς γεέννης; 34διὰ τοῦτο ἰδοὺ
ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας καὶ
σοφοὺς καὶ γραμματεῖς, καὶ ἐξ αὐτῶν
ἀποκτενεῖτε καὶ σταυρώσετε, καὶ ἐξ
αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς
ὑμῶν καὶ διώξετε ἀπὸ πόλεως εἰς
πόλιν, 35ὅπως ἔλθῃ ἐφ' ὑμᾶς πᾶν αἷμα
δίκαιον ἐκχυνόμενον ἐπὶ τῆς γῆς ἀπὸ τοῦ
αἵματος Ἄβελ τοῦ δικαίου ἕως τοῦ
αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου, ὃν
ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ
θυσιαστηρίου. 36ἀμὴν λέγω ὑμῖν ὅτι ἥξει
ταῦτα πάντα ἐπὶ τὴν γενεὰν
ταύτην. 37Ἱερουσαλὴμ Ἱερουσαλήμ, ἡ
ἀποκτέννουσα τοὺς προφήτας καὶ
λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς
αὐτήν! ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν

τὰ τέκνα σου ὃν τρόπον ὄρνις ἐπισυνάγει
τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ
οὐκ ἠθελήσατε. [38]ἰδοὺ ἀφίεται ὑμῖν ὁ
οἶκος ὑμῶν ἔρημος. [39]λέγω γὰρ **ὑμῖν, οὐ
μή με ἴδητε ἀπ' ἄρτι ἕως ἂν εἴπητε,
εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι
Κυρίου.**

**Δόξα Σοι Κύριε, δόξα Σοι.**

## Ψαλμὸς 50.

- **Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ** πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.
- ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.
- ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.
- σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
- ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.
- ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

- ραντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
- ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
- ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
- καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
- μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.
- ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
- διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
- ρῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς ὁ Θεὸς τῆς σωτηρίας μου˙ ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
- Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
- ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν˙ ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
- θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

- ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ·
- τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα·
- **τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.**

**Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.**

**Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

**Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

**Σοι Κύριε.**

**Σὺ γὰρ εἶ ὁ Βασιλεύς τῆς εἰρήνης καὶ Σωτήρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

**Κοντάκιον Ἦχος β' Τὰ ἄνω ζητῶν.**

**Τὴν ὥραν ψυχή, τοῦ τέλους ἐννοήσασα**, καὶ τὴν ἐκκοπήν, τῆς συκῆς δειλιάσασα, τὸ δοθέν σοι τάλαντον, φιλοπόνως ἔργασαι ταλαίπωρε, γρηγοροῦσα καὶ κράζουσα˙**Μὴ μείνωμεν ἔξω τοῦ νυμφῶνος Χριστοῦ.**

**Ὁ Οἶκος.**

**Τὶ ῥαθυμεῖς ἀθλία ψυχή μου; τί** φαντάζῃ ἀκαίρως μερίμνας ἀφελεῖς; τί ἀσχολεῖς πρὸς τὰ ῥέοντα; ἐσχάτη ὥρα ἐστὶν ἀπ΄ ἄρτι, καὶ χωρίζεσθαι μέλλομεν τῶν ἐνταῦθα, ἕως καιρὸν κεκτημένη, ἀνάνηψον κράζουσα˙ Ἡμάρτηκά σοι Σωτήρ μου, μὴ ἐκκόψῃς με, ὥσπερ τὴν ἄκαρπον συκῆν, ἀλλ' ὡς εὔσπλαγχνος Χριστέ, κατοικτείρησον, φόβῳ κραυγάζουσαν. **Μὴ μείνωμεν ἔξω τοῦ νυμφῶνος Χριστοῦ.**

**Σ Υ Ν Α Ξ Α Ρ Ι Ο Ν.**

**Τῇ ΙΑ' τοῦ μηνός Απριλίου, Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Ἀντίπα, Ἐπισκόπου Περγάμου.**

**Στίχοι.**

Ταύρῳ παλαίεις, καλλιμάρτυς, Ἀντίπα,
Ὃς σε φλογίζειν, οὐ κερατίζειν ἔχει.
Χάλκεον ἑνδεκάτῃ βληθεὶς φλέγῃ,
Ἀντίπα, εἰς βοῦν.

**Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς ὁσίας Τρυφαίνης τῆς ἐν Κυζίκῳ.**

**Στίχοι.**

Χωρίζεται Τρύφαινα σαρκὸς πηλίνης,
Ἡ πηλὸν αὐτῆς τὰς τρυφὰς ἡγουμένη.

**Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Φαρμουθίου.**

**Στίχοι.**

Ἐξῆλθε Φαρμούθιος ἐκ τῶν ἐνθάδε,
Φαρμουθὶ μηνί, δῆλον ὡς Ἀπριλίῳ.

**Τῇ ἁγίᾳ καὶ μεγάλῃ Τρίτῃ, τῆς τῶν δέκα Παρθένων παραβολῆς, τῆς ἐκ τοῦ ἱεροῦ Εὐαγγελίου, μνείαν ποιούμεθα.**

**Στίχοι εἰς τὸν Πάγκαλον Ἰωσήφ.**

Τρίτη μεγίστη Παρθένους δέκα φέρει,
Νίκην φερούσας ἀδεκάστου Δεσπότου.

**Ἀλλ' ὦ Νυμφίε Χριστέ, μετὰ τῶν φρονίμων ἡμᾶς συναρίθμησον Παρθένων, καὶ τῇ ἐκλεκτῇ σου σύνταξον ποίμνῃ, καὶ ἐλέησον ἡμᾶς. Ἀμήν.**

**Ποίημα Κοσμᾶ Μοναχοῦ Κανών α', Ὠδὴ η', Τριῳδίου Ἦχος β' Ὁ Εἱρμὸς.**

**«Τῷ δόγματι, τῷ τυραννικῷ,** οἱ ὅσιοι τρεῖς Παῖδες μὴ πεισθέντες, ἐν τῇ καμίνῳ βληθέντες, Θεὸν ὡμολόγουν ψάλλοντες· Εὐλογεῖτε τὰ ἔργα, Κυρίου τὸν Κύριον».

**Στίχ. Δόξα Σοι ὁ Θεὸς ἡμῶν, δόξα Σοι**
Ῥαθυμίαν, ἄπωθεν ἡμῶν, βαλλώμεθα, καὶ φαιδραῖς ταῖς λαμπάσι, τῷ ἀθανάτῳ Νυμφίῳ Χριστῷ, ὕμνοις συναντήσωμεν· Εὐλογεῖτε βοῶντες, τὰ ἔργα τὸν Κύριον.

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.**
Ἱκανούσθω, τὸ κοινωνικόν, ψυχῆς ἡμῶν ἔλαιον ἐν ἀγγείοις, ὅπως ἐπάθλων μὴ θέντες καιρὸν ἐμπορίας, ψάλλωμεν· Εὐλογεῖτε τὰ ἔργα, Κυρίου τὸν Κύριον.

**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.**
Τὸ τάλαντον, ὅσοι πρὸς Θεοῦ, ἐδέξασθε ἰσοδύναμον χάριν, ἐπικουρίᾳ τοῦ δόντος Χριστοῦ, αὐξήσατε ψάλλοντες· Εὐλογεῖτε τὰ ἔργα, Κυρίου τὸν Κύριον.

**Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον.**

**Καταβασία.**
«Τῷ δόγματι, τῷ τυραννικῷ, οἱ ὅσιοι τρεῖς Παῖδες μὴ πεισθέντες, ἐν τῇ καμίνῳ βληθέντες, Θεὸν ὡμολόγουν ψάλλοντες· **Εὐλογεῖτε τὰ ἔργα, Κυρίου τὸν Κύριον».**

**Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ Φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.**

**Κανὼν α', Ὠδὴ θ', Τριῳδίου Ἦχος β' Ὁ Εἱρμὸς.**

«Ἡ τὸν ἀχώρητον Θεόν, ἐν γαστρὶ χωρήσασα, καὶ χαρὰν τῷ Κόσμῳ κυήσασα, σὲ ὑμνοῦμεν, Παναγία Παρθένε».

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.**

Τοῖς Μαθηταῖς ὁ ἀγαθός, γρηγορεῖτε ἔφησας· ᾗ γὰρ ὥρα ἥξει ὁ Κύριος, ἀγνοεῖτε, ἀποδοῦναι ἑκάστῳ.

**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.**

Ἐν τῇ δευτέρᾳ σου φρικτῇ, παρουσίᾳ Δέσποτα, δεξιοῖς προβάτοις με σύνταξον, τῶν πταισμάτων, παριδών μου τὰ πλήθη.

**Καταβασία.**

«Ἡ τὸν ἀχώρητον Θεόν, ἐν γαστρὶ χωρήσασα, καὶ χαρὰν τῷ Κόσμῳ κυήσασα**, σὲ ὑμνοῦμεν, Παναγία Παρθένε».**

**Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.**

**Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

**Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων

μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

**Σοι Κύριε.**

**Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

## Ἐξαποστειλάριον αὐτόμελον Ἦχος γ'.

**Τὸν νυμφῶνά σου βλέπω,** Σωτήρ μου κεκοσμημένον, καὶ ἔνδυμα οὐκ ἔχω, ἵνα εἰσέλθω ἐν αὐτῷ, λάμπρυνόν μου τὴν στολὴν τῆς ψυχῆς, **Φωτοδότα, καὶ σῶσόν με.**

**Τὸν νυμφῶνά σου βλέπω,** Σωτήρ μου κεκοσμημένον, καὶ ἔνδυμα οὐκ ἔχω, ἵνα εἰσέλθω ἐν αὐτῷ, λάμπρυνόν μου τὴν στολὴν τῆς ψυχῆς, **Φωτοδότα, καὶ σῶσόν με.**

**Τὸν νυμφῶνά σου βλέπω,** Σωτήρ μου κεκοσμημένον, καὶ ἔνδυμα οὐκ ἔχω, ἵνα εἰσέλθω ἐν αὐτῷ, λάμπρυνόν μου τὴν στολὴν τῆς ψυχῆς......**Φωτοδότα, καὶ σῶσόν με.**

## ΑΙΝΟΙ Ἦχος α'.

**Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν˙**

**αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.**

**Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.**

**Στιχηρὰ Ἰδιόμελα.**

**Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.**

**Εἰς τοὺς Α ἴ ν ο υ ς Στιχηρὰ Ἰδιόμελα**

**Ἦχος α'.**

**Ἐν ταῖς λαμπρότησι τῶν Ἁγίων σου**, πῶς εἰσελεύσομαι ὁ ἀνάξιος; ἐὰν γὰρ τολμήσω συνεισελθεῖν εἰς τὸν νυμφῶνα, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ γάμου, καὶ δέσμιος ἐκβαλοῦμαι ὑπὸ τῶν Ἀγγέλων, καθάρισον Κύριε, τὸν ῥύπον τῆς ψυχῆς μου, καὶ σῶσόν με ὡς φιλάνθρωπος.

**Στιχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.**

**Ἦχος α'.**

Ἐν ταῖς λαμπρότησι τῶν Ἁγίων σου, πῶς εἰσελεύσομαι ὁ ἀνάξιος; ἐὰν γὰρ τολμήσω συνεισελθεῖν εἰς τὸν νυμφῶνα, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ γάμου, καὶ δέσμιος ἐκβαλοῦμαι ὑπὸ τῶν Ἀγγέλων, καθάρισον Κύριε, τὸν ῥύπον τῆς ψυχῆς μου, καὶ σῶσόν με ὡς φιλάνθρωπος.

**Στιχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.**

**Ἦχος β'.**

Ὁ τῇ ψυχῆς ῥαθυμίᾳ νυστάξας, οὐ κέκτημαι Νυμφίε Χριστέ, καιομένην λαμπάδα τὴν ἐξ ἀρετῶν, καὶ νεάνισιν ὡμοιώθην μωραῖς, ἐν καιρῷ τῆς ἐργασίας ῥεμβόμενος, τὰ σπλάγχνα τῶν οἰκτιρμῶν σου, μὴ κλείσῃς μοι Δέσποτα, ἀλλ' ἐκτινάξας μου τὸν ζοφερὸν ὕπνον ἐξανάστησον, καὶ ταῖς φρονίμοις συνεισάγαγε Παρθένοις, εἰς νυμφῶνα τὸν σόν, ὅπου ἦχος καθαρὸς ἑορταζόντων, καὶ βοώντων ἀπαύστως· Κύριε δόξα σοι.

**Στιχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.**

**Ἦχος β'.**

Ὁ τῇ ψυχῆς ῥαθυμίᾳ νυστάξας, οὐ κέκτημαι Νυμφίε Χριστέ, καιομένην λαμπάδα τὴν ἐξ ἀρετῶν, καὶ νεάνισιν ὡμοιώθην μωραῖς, ἐν καιρῷ τῆς ἐργασίας ῥεμβόμενος, τὰ σπλάγχνα τῶν οἰκτιρμῶν σου, μὴ κλείσῃς μοι Δέσποτα, ἀλλ' ἐκτινάξας μου τὸν ζοφερὸν ὕπνον ἐξανάστησον, καὶ ταῖς φρονίμοις συνεισάγαγε Παρθένοις, εἰς νυμφῶνα τὸν σόν, ὅπου ἦχος καθαρὸς

ἑορταζόντων, καὶ βοώντων ἀπαύστως·
Κύριε δόξα σοι.
**Δόξα ... Καὶ νῦν ... Ἦχος δ.**
**Τοῦ κρύψαντος τὸ τάλαντον**, τὴν κατάκρισιν, ἀκούσασα ψυχή, μὴ κρύπτε λόγον Θεοῦ, κατάγγελλε τὰ θαυμάσια αὐτοῦ, ἵνα πλεονάζουσα τὸ χάρισμα, εἰσέλθῃς, **εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.**

**Ὁ προεστὼς:**
**Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

**Ὁ Ἀναγνώστης χῦμα τό.**
**Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη** ἐν ἀνθρώποις εὐδοκία.
**Ὑμνοῦμεν σε,** εὐλογοῦμέν σε, προσκυ νοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.
**Κύριε Βασιλεῦ**, ἐπουράνιε Θεέ, πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.
**Κύριε ὁ Θεός**, ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ Υἱός τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ

κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

**Πρόσδεξαι** τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

**Ὅτι σὺ εἶ μόνος** Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

**Καθ' ἑκάστην** εσπέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

**Κύριε, καταφυγὴ** ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα. Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

**Κύριε, πρὸς σὲ κατέφυγον**, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

**Ὅτι παρὰ** σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

**Παράτεινον** τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

**Καταξίωσον,** Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

**Εὐλογητὸς εἶ**, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

**Γένοιτο, Κύριε**, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

**Εὐλογητὸς εἶ**, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

**Εὐλογητὸς εἶ**, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.
**Εὐλογητὸς** εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.
**Κύριε, τὸ ἔλεός** σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.
**Σοὶ πρέπει αἶνος**, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, **νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**
**Ἀμήν.**

**Ὁ διάκονος:**

- Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.
- **Κύριε ἐλέησον.**
- Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.
- **Κύριε ἐλέησον.**
- Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρά τοῦ Κυρίου, αἰτησώμεθα.
- **Παράσχου Κύριε.**
- Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.
- **Παράσχου Κύριε.**
- Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.
- **Παράσχου Κύριε.**

- Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.
- **Παράσχου Κύριε.**
- Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.
- **Παράσχου Κύριε.**
- Χριστιανὰ τὰ τέλη της ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.
- **Παράσχου Κύριε.**
- Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.
- **Σοὶ Κύριε.**

**Ὅτι Θεός Ελέους και οικτιρμών και φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας των αἰώνων.**

**Ὁ Χορός: Ἀμήν.**

**Εἰρήνη πᾶσι.**

**Καὶ τῷ πνεύματί σου.**

**Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.**

## Σοί, Κύριε.

Κύριε, Ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, καὶ τῷ παντεφόρῳ σου ὄμματι ἐπιβλέπων ἐπὶ πᾶσαν τὴν κτίσιν, σοὶ ἐκλίναμεν τὸν αὐχένα τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ δεόμεθά σου Ἅγιε Ἁγίων· ἔκτεινον τὴν χεῖρά σου τὴν ἀόρατον ἐξ ἁγίου κατοικητηρίου σου, καὶ εὐλόγησον πάντας ἡμᾶς· καὶ εἴτι ἡμάρτομεν ἑκουσίως ἤ ἀκουσίως, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, δωρούμενος ἡμῖν τὰ ἐγκόσμια καὶ ὑπερκόσμια ἀγαθά σου.

**Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν**

## Απόστιχα εκ του Τριωδίου Ἦχος πλ. β' Ἰδιόμελον.

**Δεῦτε πιστοί, ἐπεργασώμεθα προθύμως τῷ Δεσπότῃ·** νέμει γὰρ τοῖς δούλοις τὸν πλοῦτον, καὶ ἀναλόγως ἕκαστος, πολυπλασιάσωμεν, τὸ τῆς χάριτος τάλαντον. Ὁ μέν σοφίαν κομιείτω, δι' ἔργων ἀγαθῶν. Ὁ δὲ λειτουργίαν

λαμπρότητος ἐπιτελείτω, κοινωνείτω δὲ τοῦ λόγου, πιστὸς τῷ ἀμυήτῳ, καὶ σκορπιζέτω τὸν πλοῦτον, πένησιν ἄλλος· οὕτω γὰρ τὸ δάνειον πολυπλασιάσομεν, καὶ ὡς οἰκονόμοι πιστοὶ τῆς χάριτος, δεσποτικῆς χαρᾶς ἀξιωθῶμεν, αὐτῆς ἡμᾶς καταξίωσον, Χριστὲ ὁ Θεός, ὡς φιλάνθρωπος.

Στίχ. α'. **Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ ηὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν. Εὐφρανθείημεν, ἀνθ’ ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν, ὧν εἴδομεν κακά, καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.**

Ἦχος πλ. β'

Ὅταν ἔλθῃς ἐν δόξῃ μετ' Ἀγγελικῶν Δυνάμεων, καὶ καθίσῃς ἐν θρόνῳ Ἰησοῦ διακρίσεως, μή με Ποιμὴν ἀγαθὲ διαχωρίσῃς· ὁδοὺς δεξιὰς γὰρ οἶδας, διεστραμμέναι δέ εἰσιν αἱ εὐώνυμοι· μὴ οὖν ἐρίφοις με, τὸν τραχὺν τῇ ἁμαρτίᾳ συναπολέσῃς· ἀλλὰ τοῖς ἐκ δεξιῶν, συναριθμήσας προβάτοις, σῶσόν με ὡς φιλάνθρωπος.

Στίχ. **Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.**

Ἦχος πλ. β'

Ὁ Νυμφίος ὁ κάλλει ὡραῖος, παρὰ πάντας ἀνθρώπους, ὁ συγκαλέσας ἡμᾶς, πρὸς ἑστίασιν πνευματικὴν τοῦ νυμφῶνός σου, τὴν δυσείμονά μου μορφήν, τῶν πταισμάτων ἀπαμφίασον, τῇ μεθέξει τῶν παθημάτων σου, καὶ στολὴν δόξης κοσμήσας, τῆς σῆς ὡραιότητος, δαιτυμόνα φαιδρὸν ἀνάδειξον, τῆς Βασιλείας σου ὡς εὔσπλαγχνος.

**Δόξα ... Καὶ νῦν ... Ἦχος βαρύς.**

Ἰδού σοι τὸ τάλαντον, ὁ Δεσπότης ἐμπιστεύει ψυχή μου, φόβῳ δέξαι τὸ χάρισμα, δάνεισαι τῷ δεδωκότι, διάδος πτωχοῖς, καὶ κτῆσαι φίλον τὸν Κύριον, ἵνα στῇς ἐκ δεξιῶν αὐτοῦ, ὅταν ἔλθῃ ἐν δόξῃ, καὶ ἀκούσῃς μακαρίας φωνῆς. Εἴσελθε δοῦλε, εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. Αὐτῆς ἀξίωσόν με, Σωτὴρ τὸν πλανηθέντα, **διὰ τὸ μέγα σου ἔλεος.**

**Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.**

**Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ').**

**Δόξα ... Καὶ νῦν ...**

**Παναγία Τριάς, ἐλέησον ἡμᾶς.**

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,
Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.
Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν,
**ἕνεκεν τοῦ ὀνόματός σου.**

**Κύριε, ἐλέησον (ἐκ γ').**
**Δόξα ... Καὶ νῦν ...**
**Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,**
ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ **ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.**

**Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα του Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων.**
**Ἀμήν.**

<u>Κοντάκιον Ἦχος β' Τὰ ἄνω ζητῶν.</u>
**Τὴν ὥραν ψυχή, τοῦ τέλους ἐννοήσασα**, καὶ τὴν ἐκκοπήν, τῆς συκῆς δειλιάσασα, τὸ δοθέν σοι τάλαντον, φιλοπόνως ἔργασαι ταλαίπωρε, γρηγοροῦσα καὶ κράζουσα˙**Μὴ μείνωμεν ἔξω τοῦ νυμφῶνος Χριστοῦ.**

**Κύριε ἐλέησον ιβ’ (12).**

**Δόξα Πατρὶ ... Καὶ νῦν ...**

**Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.**

**Εν ονόματι Κυρίου, εὐλόγησον, Πάτερ.**

**Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τους αἰῶνας τῶν αἰώνων.**
**Ἀμήν.**

**Ἐπουράνιε Βασιλεῦ, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν στερέωσον, τὴν Πίστιν στήριξον, τὰ Ἔθνη πράϋνον, τὸν Κόσμον εἰρήνευσον, τὴν ἁγίαν Ἐκκλησίαν ταύτην καλῶς διαφύλαξον, τοὺς προαπελθόντας πατέρας καὶ ἀδελφοὺς ἡμῶν ἐν σκηναῖς Δικαίων τάξον, καὶ ἡμᾶς ἐν μετανοίᾳ καὶ ἐξομολογήσει παράλαβε, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.**

**Ἀμήν.**

**Εὐχὴν τοῦ Ἁγίου Ἐφραίμ.**

**Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου, πνεῦμα ἀργίας, περιεργίας, φιλαρχίας καὶ ἀργολογίας μή μοι δῷς. (Μετάνοια).**

**Πνεῦμα δὲ σωφροσύνης, ταπεινοφροσύνης, ὑπομονῆς καὶ ἀγάπης χάρισαί μοι τῷ σῷ δούλῳ. (Μετάνοια).**

**Ναί, Κύριε Βασιλεῦ, δώρησαί μοι τοῦ ὁρᾶν τὰ ἐμὰ πταίσματα, καὶ μὴ κατακρίνειν τὸν ἀδελφόν μου, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν. (Μετάνοια).**

**Ναί, Κύριε Βασιλεῦ, δώρησαί μοι τοῦ ὁρᾶν τὰ ἐμὰ πταίσματα, καὶ μὴ κατακρίνειν τὸν ἀδελφόν μου, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**
**Ἀμήν. (Μετάνοια).**

**Ἀπόλυσις.**

**Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι.**

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίω Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν**

**αἰώνων. Ἀμήν. Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον. Πάτερ Ἅγιε εὐλόγησον.**

**Ἐρχόμενος ὁ Κύριος ἐπί τό ἑκούσιον πάθος δια την ημών σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν,** ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης καὶ πάντων τῶν ἁγίων ἐλεήσαι **καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.**

**Ἀμήν.**

**Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.**

**Ἀμήν.**